Κωνστάντιος Θετταλὸς ἐπίσκοπος Τρίκκης, πολυμαθὴς καὶ τῆς ἑρμηνείας τῶν θείων Γραφάν ἔμπειρος, ἐδίδασκε συνεχῶς διερμηνεύων τὰς ἁγίας Γραφάς· συνέγραψε συλλογὰς ἐκ τῶν θείων Γραφῶν καὶ τῶν συγγραμμάτων τῶν θεοφόρων πατέρων, καὶ ἄλλα τινὰ ὑπομνήματα.

Ἀλέξανδρος μαθητὴς τοῦ ἀοιδίμου Μακαρίου, φιλόσοφος, ἐδίδαξεν ἐν Βουκουρεστίῳ λογικά, ἐπιστημονικὰ δί ἐτῶν, καὶ πολλῆς ἐγένετο τοῖς ἐκεῖ ὠφελείας πρόξενος, πυρσὸν εὐμαθείας ἀνάψας.

Νικόλαος ἐκ Μεσόβου, πρότερον χρηματίσας διδάσκαλος ἐν Τρίκκῃ τῆς Θετταλίας, καὶ μετὰ τὴν ἐπάνοδον ἀπὸ Ἰταλίας σταλεὶς εἰς τὸ ἅγιον Ὄρος καὶ χρηματίσας ἐν τῇ ἐκεῖ σχολῇ διδάσκαλος, κἀκεῖθεν μεταβὰς εἰς Δακίαν καὶ ἐν Ἰασίῳ διδάξας· πολυμαθὴς ὁ ἀνήρ· οὗτος πρῶτος ἐν ἕλλησι μετέφρασε τὰ στοιχεῖα τῆς φυσικῆς τοῦ Νεύτωνος κατὰ Μουσχεμβροέκιον.

Ἰωάννης ὁ ἐξ Ἀγράφων, ὁ χρηματίσας διδάσκαλος τῶν υἱῶν τοῦ αὐθέντου Γρηγορίου Γκίκα βοεβόδα, καὶ διδάσκαλος ἐν τῇ σχολῇ τοῦ Ἰασίου ἅμα τῷ ἀπὸ Μεσόβου Νικολάῳ καὶ ὕστερον ἅμα Νικηφόρῳ τῷ Θεοτόκῃ, ὁ καὶ διὰ χρόνων φιλοπονήσας καὶ μεταφράσας τὸν Θησαυρὸν τῆς Ἑλληνικῆς Γλώσσης Στεφάνου Ἐρρίκου καὶ ἐπεργασάμενος, ἐπιπροσθεὶς καὶ ἄλλας πολλὰς λέξεις, ἐξ ἄλλων τε συλλέξας καὶ φιλοτεχνήσας ἄριστα.